36 [36]καὶ τὸ μοσχάριον τῆς ἁμαρτίας ποιήσεις τῇ ἡμέρᾳ τοῦ καθαρι-
σμοῦ καὶ καθαριεῖς τὸ θυσιαστήριον ἐν τῷ ἁγιάζειν σε ἐπ᾽ αὐτῷ
37 καὶ χρίσεις αὐτὸ ὥστε ἁγιάσαι αὐτό. [37]ἑπτὰ ἡμέρας καθαριεῖς τὸ
θυσιαστήριον καὶ ἁγιάσεις αὐτό, καὶ ἔσται τὸ θυσιαστήριον ἅγιον
τοῦ ἁγίου· πᾶς ὁ ἁπτόμενος τοῦ θυσιαστηρίου ἁγιασθήσεται.
38 [38]Καὶ ταῦτά ἐστιν, ἃ ποιήσεις ἐπὶ τοῦ θυσιαστηρίου· ἀμνοὺς
ἐνιαυσίους ἀμώμους δύο τὴν ἡμέραν ἐπὶ τὸ θυσιαστήριον ἐνδε-
39 λεχῶς, κάρπωμα ἐνδελεχισμοῦ. [39]τὸν ἀμνὸν τὸν ἕνα ποιήσεις τὸ
40 πρωὶ καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ δειλινόν· [40]καὶ
δέκατον σεμιδάλεως πεφυραμένης ἐν ἐλαίῳ κεκομμένῳ τῷ τετάρ-
τῳ τοῦ ιν καὶ σπονδὴν τὸ τέταρτον τοῦ ιν οἴνου τῷ ἀμνῷ τῷ
41 ἑνί· [41]καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ δειλινόν, κατὰ τὴν
θυσίαν τὴν πρωινὴν καὶ κατὰ τὴν σπονδὴν αὐτοῦ ποιήσεις εἰς
42 ὀσμὴν εὐωδίας κάρπωμα κυρίῳ, [42]θυσίαν ἐνδελεχισμοῦ εἰς γενεὰς
ὑμῶν ἐπὶ θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι κυρίου, ἐν οἷς
43 γνωσθήσομαί σοι ἐκεῖθεν ὥστε λαλῆσαί σοι. [43]καὶ τάξομαι ἐκεῖ
44 τοῖς υἱοῖς Ισραηλ καὶ ἁγιασθήσομαι ἐν δόξῃ μου· [44]καὶ ἁγιάσω
τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ τὸ θυσιαστήριον καὶ Ααρων καὶ
45 τοὺς υἱοὺς αὐτοῦ ἁγιάσω ἱερατεύειν μοι. [45]καὶ ἐπικληθήσομαι ἐν
46 τοῖς υἱοῖς Ισραηλ καὶ ἔσομαι αὐτῶν θεός, [46]καὶ γνώσονται ὅτι
ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν ὁ ἐξαγαγὼν αὐτοὺς ἐκ γῆς Αἰγύ-
πτου ἐπικληθῆναι αὐτοῖς καὶ θεὸς εἶναι αὐτῶν.
30 [1]Καὶ ποιήσεις θυσιαστήριον θυμιάματος ἐκ ξύλων ἀσήπτων·
2 καὶ ποιήσεις αὐτὸ [2]πήχεος τὸ μῆκος καὶ πήχεος τὸ εὖρος —
τετράγωνον ἔσται — καὶ δύο πήχεων τὸ ὕψος· ἐξ αὐτοῦ ἔσται
3 τὰ κέρατα αὐτοῦ. [3]καὶ καταχρυσώσεις αὐτὰ χρυσίῳ καθαρῷ, τὴν
ἐσχάραν αὐτοῦ καὶ τοὺς τοίχους αὐτοῦ κύκλῳ καὶ τὰ κέρατα αὐ-
4 τοῦ, καὶ ποιήσεις αὐτῷ στρεπτὴν στεφάνην χρυσῆν κύκλῳ. [4]καὶ
δύο δακτυλίους χρυσοῦς καθαροὺς ποιήσεις ὑπὸ τὴν στρεπτὴν
στεφάνην αὐτοῦ, εἰς τὰ δύο κλίτη ποιήσεις ἐν τοῖς δυσὶ πλευροῖς·
καὶ ἔσονται ψαλίδες ταῖς σκυτάλαις ὥστε αἴρειν αὐτὸ ἐν αὐταῖς.
5 [5]καὶ ποιήσεις σκυτάλας ἐκ ξύλων ἀσήπτων καὶ καταχρυσώσεις
6 αὐτὰς χρυσίῳ. [6]καὶ θήσεις αὐτὸ ἀπέναντι τοῦ καταπετάσματος
τοῦ ὄντος ἐπὶ τῆς κιβωτοῦ τῶν μαρτυρίων, ἐν οἷς γνωσθήσομαί
7 σοι ἐκεῖθεν. [7]καὶ θυμιάσει ἐπ᾽ αὐτοῦ Ααρων θυμίαμα σύνθετον
λεπτόν· τὸ πρωὶ πρωί, ὅταν ἐπισκευάζῃ τοὺς λύχνους, θυμιάσει
8 ἐπ᾽ αὐτοῦ, [8]καὶ ὅταν ἐξάπτῃ Ααρων τοὺς λύχνους ὀψέ, θυμιάσει

36 της] pr. το A || 38 α] οσα A | επι το θυσ. > A* (uid.) || 40 τω τεταρτω] του -του A || 41 αυτου > B*† | εις M (cf. 18. 25)] > BA || 42 γενεας] pr. τας A | θυρας] pr. τας A || 46 θεος / ειναι αυτων] tr. A
30 3 εσχαριδα A || 4 ποιησεις $1^0$] + αυτους A || 6 εκει A || 7 θυμιασει $1^0$] θυσει B*† | επισκευαση B*† || 8 απτη A* | θυμιασεις B